# 02 OCTOMBRIE
# RUGĂCIUNEA
# SF.IERARH-MUCENIC CIPRIAN, EPISCOPUL ANTIOHIEI PISIDIEI
# SF.MUCENIȚE IUSTINA DE LA ANTIOHIA PISIDIEI

## Εὐχή Ἐξορκισμῶν Ἁγίων ΚΥΠΡΙΑΝΟΥ καί ΙΟΥΣΤΙΝΗΣ

Δέσποτα Φιλάνθρωπε Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός καί Σωτήρ ἡμῶν· θαρροῦντες εἰς τήν Σήν ἄμετρον ἀγαθότητα, προσπίπτομέν Σοι ἐν μετανοίᾳ καί ἐκ βαθέων δεόμεθά Σου, ὅπως ταῖς πρεσβείαις τῶν Ἁγίων ἐνδόξων Μαρτύρων Σου Κυπριανοῦ καί Ἰουστίνης, καταργήσῃς, ἐκριζώσῃς, διαρρήξῃς καί ὡσεί καπνόν διαλύσῃς καί ἀπολέσῃς πάντα σατανικόν δεσμόν ἀπό παντός τόπου τῆς δεσποτείας Σου καί ἐλευθερώσῃς τόν δοῦλον Σου (...) καί πάντας τούς κατ' ὄνομα προμνημονευθέντας, μετά τῶν οἰκείων καί συγγενῶν αὐτῶν, ἀπό πάσης ὀργῆς καί ἀσθενείας, μαγείας καί σατανικῆς ἐπηρείας, ἀπό παντός πάθους καί δυσπραγίας, ἀπό πάσης φαρμακείας τε καί γοητείας, μαντείας καί βασκανίας, ἅτινα ἐνήργησάν τινες τῇ συνεργίᾳ τοῦ ἀρχαίου δράκοντος.

Σύ, Πανάγαθε, ὡς Παντογνώστης, οἶδας καί τούς τρόπους τοῦ τῆς κακίας ἐφευρέτου καί τούς τόπους, ἐν οἷς ταύτην ἐνήργησε· δι’ ὅ ἱκετεύομέν Σε ταχύ ἐπάκουσον ἡμῶν τῶν ἀναξίων τέκνων Σου καί διά τῶν Ἁγίων Σου Μαρτύρων Κυπριανοῦ καί Ἰουστίνης, δός ἡμῖν ταχεῖαν τήν ἀπολύτρωσιν ἀπό τοῦ κράτους τοῦ διαβόλου καί τῶν ἔργων αὐτοῦ.

Ὅτι Σύ εἶ ὁ ἰατρός, ἡ ἀνόρθωσις καί ἡ παρηγορία τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, Χριστέ ὁ Θεός ἡμῶν, καί Σοί τήν δόξαν ἀναπέμπομεν σύν τῷ Ἀνάρχῳ Σου Πατρί καί τῷ Παναγίῳ καί Ἀγαθῷ καί Ζωοποιῷ Σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν

